www.e-rara.ch

# Appiani Alexandrini Romanarum historiarum quae supersunt

## Appianus

## Leipsiae, 1829

**ETH-Bibliothek Zürich**

Shelf Mark: Rar 8132

Persistent Link: https://doi.org/10.3931/e-rara-32421

Romaikōn biblou 4. Tēs keltikēs.

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

## ΕΚ ΤΗΣ
# ΤΩΝ ΑΠΠΙΑΝΟΥ ΡΩΜΑΙΚΩΝ
## ΒΙΒΛΟΥ Δ'.
# ΤΗΣ ΚΕΛΤΙΚΗΣ.

---

### I. ΕΚ ΤΩΝ ΑΠΠΙΑΝΟΥ ΚΕΛΤΙΚΩΝ.

Κελτοὶ Ῥωμαίοις ἐπεχείρησαν πρῶτοι, καὶ τὴν Ῥώμην εἷλον, ἄνευ τοῦ Καπιτωλίου, καὶ ἐμπεπρήκασι. Κάμιλλος δὲ αὐτοὺς ἐνίκησε καὶ ἐξήλασε· καὶ μετὰ χρόνον ἐπελθόντας αὖθις ἐνίκησε, καὶ ἐθριάμβευσεν ἀπ' αὐτῶν, ὀγδοήκοντα γεγωνὼς ἔτη. Καὶ τρίτη δὲ Κελτῶν στρατιὰ ἐμβέβληκεν εἰς τὴν Ἰταλίαν, ἣν καὶ αὐτὴν οἱ Ῥωμαῖοι διεφθάρκασιν ὑφ' ἡγεμόνι Τίτῳ Κοιντίῳ. Μετὰ δὲ ταῦτα Βοιοὶ, Κελτικὸν ἔθνος θηριωδέστατον, ἐπῆλθε Ῥωμαίοις. καὶ αὐτοῖς Γάϊος Σουλπίκιος δικτάτωρ μετὰ στρατιᾶς ἀπήντα, ὅς τις καὶ στρατηγήματι τοιούτῳ χρήσασθαι λέγεται· ἐκέλευσε γὰρ τοὺς ἐπὶ τοῦ μετώπου τεταγμένους, ἐξακοντίσαντας ὁμοῦ, συγκαθίσαι τάχιστα, μέχρι βάλωσιν οἱ δεύτεροι, καὶ τρίτοι καὶ τέταρτοι· τοὺς δ' ἀφιέντας, ἀεὶ συνίζειν, ἵνα μὴ κατ' αὐτῶν ἐνεχθείη τὰ δόρατα· βαλόντων δὲ τῶν ὑστάτων, ἀναπηδᾶν

πάντας ὁμοῦ, καὶ σὺν βοῇ τάχιστα ἐς χεῖρας ἰέναι. καταπλήξειν γὰρ ὧδε τοὺς πολεμίους τοσῶνδε δοράτων ἄφεσιν, καὶ ἐπ᾽ αὐτῇ ταχεῖαν ἐπιχείρησιν. Τὰ δὲ δόρατα ἦν οὐκ ἐοικότα ἀκοντίοις· ἃ Ῥωμαῖοι καλοῦσιν ὑσσοὺς, ξύλου τετραγώνου τὸ ἥμισυ, καὶ τὸ ἄλλο σιδήρου, τετραγώνου καὶ τοῦδε, καὶ μαλακοῦ, χωρίς γε τῆς αἰχμῆς. Καὶ οἱ Βοιοὶ οὖν ὑπὸ Ῥωμαίων τότε ἐφθάρησαν πανστρατιᾷ.

11. Ἄλλους δὲ πάλιν Κελτοὺς ἐνίκα Ποπίλλιος· καὶ μετ᾽ ἐκεῖνον τοὺς αὐτοὺς Κάμιλλος, ὁ τοῦ Καμίλλου υἱός. Ἔστησε δὲ κατὰ Κελτῶν καὶ Πάππος Αἰμίλιος τρόπαια. Πρὸ δὲ τῶν τοῦ Μαρίου ὑπατειῶν, πλεῖστόν τι καὶ μαχιμώτατον, τῇ τε ἡλικίᾳ μάλιστα φοβερώτατον, χρῆμα Κελτῶν εἰς τὴν Ἰταλίαν καὶ τὴν Γαλατίαν εἰσέβαλε, καί τινας ὑπάτους Ῥωμαίων ἐνίκησε, καὶ στρατόπεδα κατέκοψεν· ἐφ᾽ οὓς ὁ Μάριος ἀποσταλεὶς, ἅπαντας διέφθειρε. Τελευταῖα δὲ καὶ μέγιστα τῶν ἐς Γαλάτας Ῥωμαίοις πεπραγμένων ἐστὶ τὰ ὑπὸ Γαΐῳ Καίσαρι στρατηγοῦντι γενόμενα. μυριάσι τε γὰρ ἀνδρῶν ἀγρίων, ἐν τοῖς δέκα ἔτεσιν, ἐν οἷς ἐστρατήγησεν, ἐς χεῖρας ἦλθον (εἴ τις ὑφ᾽ ἓν τὰ μέρη συναγάγοι) τετρακοσίων πλείοσι· καὶ τούτων ἑκατὸν μὲν ἐζώγρησαν, ἑκατὸν δ᾽ ἐν τῷ πόνῳ κατέκανον. ἔθνη δὲ τετρακόσια, καὶ πόλεις ὑπὲρ ὀκτακοσίας, τὰ μὲν ἀφιστάμενα σφῶν, τὰ δὲ προσεπιλαμβάνοντες, ἐκρατύναντο. Πρὸ δὲ τοῦ Μαρίου, καὶ Φάβιος Μάξιμος ὁ Αἰμιλιανὸς, ὀλίγην κομιδῇ στρατιὰν ἔχων, ἐπολέμησε τοῖς Κελτοῖς· καὶ δώδεκα μυριάδας αὐτῶν ἐν μιᾷ μάχῃ

κατέκαυσε, πεντεκαίδεκα μόνους τῶν ἰδίων ἀποβαλών. καὶ ταῦτα μέντοι ἔπραξε πιεζόμενος ὑπὸ τραύματος ὑπογυίου, καὶ τὰ τάγματα ἐπιὼν, καὶ παραθαῤῥύνων, καὶ διδάσκων ὅπως τοῖς βαρβάροις πολεμητέον, τὰ μὲν ἐπ᾽ ἀπήνης φερόμενος, τὰ δὲ καὶ βάδην χειραγωγούμενος.

III. Καῖσαρ δὲ πολεμήσας αὐτοῖς, πρῶτον μὲν Ἐλουητίους καὶ Τιγυρίους ἀμφὶ τὰς εἴκοσι μυριάδας ὄντας ἐνίκησε. οἱ Τιγύριοι δ᾽ αὐτῶν χρόνῳ ἔμπροσθεν Πείσωνος καὶ Κασσίου τινὰ στρατὸν ἑλόντες, ὑπὸ ζυγὸν ἐξεπεπόμφεσαν, ὡς ἐν χρονικαῖς συντάξεσι δοκεῖ Παύλῳ τῷ Κλαυδίῳ. Τοὺς μὲν οὖν Τιγυρίους ὑποστράτηγος αὐτοῦ Λαβιηνὸς ἐνίκησε· τοὺς δὲ ἄλλους ὁ Καῖσαρ, καὶ Τρικούρους ἀμύνοντας σφίσιν· ἔπειτα τοὺς μετὰ Ἀριοβίστου Γερμανοὺς, οἳ καὶ τὰ μεγέθη μείζους τῶν μεγίστων ὑπῆρχον, καὶ τὸ ἦθος ἄγριοι, καὶ τὴν τόλμαν θρασύτατοι, καὶ θανάτου καταφρονηταὶ δι᾽ ἐλπίδα ἀναβιώσεως, καὶ κρύος ὁμοίως ἔφερον θάλπει, καὶ πόᾳ ἐχρῶντο παρὰ τὰς ἀπορίας τροφῇ, καὶ ὁ ἵππος ξύλοις. ἦσαν δὲ, ὡς ἔοικεν, οὐ φερέπονοι ἐν ταῖς μάχαις, οὐδὲ λογισμῷ ἢ ἐπιστήμῃ τινὶ, ἀλλὰ θυμῷ, χρώμενοι καθάπερ θηρία. διὸ καὶ ὑπὸ τῆς Ῥωμαίων ἐπιστήμης καὶ φερεπονίας ἡσσῶντο. οἱ μὲν γὰρ μετὰ ὁρμῆς βαρυτάτης ἐπεπήδων αὐτοῖς, καὶ ὅλην ὁμοῦ τὴν φάλαγγα ἀνεώθουν. Ῥωμαῖοι δ᾽ ὑπέμενον ἐν τάξει, καὶ κατεστρατήγουν αὐτοὺς, καὶ ὀκτακισμυρίους αὐτῶν τελευτῶντες ἀπέκτειναν.

IV. Μετὰ τούτους ὁ Καῖσαρ τοῖς καλουμένοις

*Βέλγαις ἐπιπεσὼν, ποταμόν τινα περῶσι, τοσούτους ἀπέκτεινεν, ὡς τὸν ποταμὸν γεφυρωθέντα τοῖς σώμασι περάσαι. Νέρβιοι δὲ αὐτὸν ἐτρέψαντο, ἄρτι στρατόπεδον ἐξ ὁδοιπορίας κατασκευάζοντι αἰφνιδίως ἐπιπεσόντες, καὶ παμπόλλους ἐφόνευσαν, τοὺς δὲ ταξιάρχας καὶ λοχαγοὺς ἅπαντας· καὶ αὐτὸν ἐκεῖνον, εἰς λόφον τινὰ μετὰ τῶν ὑπασπιστῶν πεφευγότα, περιέσχον κύκλῳ. ὑπὸ δὲ τοῦ δεκάτου τάγματος, αὐτοῖς ἐξόπισθεν ἐπιπεσόντος, ἐφθάρησαν, ἑξακισμύριοι ὄντες. ἦσαν δὲ τῶν Κίμβρων καὶ Τευτόνων ἀπόγονοι. Ἐκράτησε δὲ καὶ Ἀλλοβρίγων ὁ Καῖσαρ. Οὐσιπετῶν δὲ καὶ Ταγχαρέων τεσσαράκοντα μυριάδες, στρατεύσιμοί τε καὶ ἀστράτευτοι, συνεκόπησαν. Σούκαμβροι δὲ πεντακοσίοις ἱππεῦσι τοὺς πεντακισχιλίους ἱππεῖς τοῦ Καίσαρος ἔτρεψαν, ἐξαίφνης ἐπιπεσόντες· καὶ δίκην ἔδοσαν, ἡττηθέντες μετὰ ταῦτα.*

V. *Ἐπέρασε καὶ τὸν Ῥῆνον πρῶτος Ῥωμαίων ὁ Καῖσαρ· καὶ ἐς τὴν Βρεττανίδα νῆσον, ἠπείρου τε μείζονα οὖσαν μεγίστης, καὶ τοῖς τῇδε ἀνθρώποις ἄγνωστον ἔτι. ἐπέρασε δὲ κατὰ τὸν καιρὸν τῆς ἀμπώτεως. ἄρτι γὰρ τὸ πάθος ἥπτετο τῆς θαλάσσης, καὶ ὁ στόλος ἐσαλεύετο, ἠρέμα πρῶτον, εἶτα ὀξύτερον, μέχρι σὺν βιαίῳ τάχει διέπλευσεν ὁ Καῖσαρ ἐς τὴν Βρεττανίαν.*

## II. *ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.*

*Ὅτι Ὀλυμπιάδων τοῖς Ἕλλησιν ἑπτὰ καὶ ἐννενήκοντα γεγενημένων, τῆς γῆς τῶν Κελτῶν οὐκ ἀρκούσης αὐτοῖς διὰ τὸ πλῆθος, ἀνίσταται μοῖρα Κελτῶν*

τῶν ἀμφὶ τὸν Ῥῆνον ἱκανὴ, κατὰ ζήτησιν ἑτέρας γῆς· οἱ τό τε Ἄλπιον ὄρος ὑπερέβησαν, καὶ Κλουσινοῖς, εὐδαίμονα γῆν ἔχουσι Τυῤῥηνῶν, ἐπολέμουν. Οὐ πάλαι δὲ οἱ Κλουσινοὶ Ῥωμαίοις ἔνσπονδοι γεγονότες, ἐπ' αὐτοὺς κατέφυγον. καὶ οἱ Ῥωμαῖοι πρέσβεις συνέπεμψαν αὐτοῖς, Φαβίους τρεῖς· οἳ τοῖς Κελτοῖς ἔμελλον προαγορεύειν, ἀνίστασθαι τῆς γῆς, ὡς Ῥωμαίων φίλης, καὶ ἀπειλήσειν ἀπειθοῦσιν. Ὑποκριναμένων δὲ τῶν Κελτῶν· ὅτι ἀνθρώπων οὐδένα δεδίασιν, οὔτε ἀπειλοῦντα σφίσιν, οὔτε πολεμοῦντα· χρῄζοντες δὲ γῆς, οὔπω τὰ Ῥωμαίων πολυπραγμονοῦσιν· οἱ πρέσβεις οἱ Φάβιοι τοὺς Κλουσινοὺς ἐνῆγον ἐπιθέσθαι τοῖς Κελτοῖς, τὴν χώραν λεηλατοῦσιν ἀπερισκέπτως. καὶ συνεκδημοῦντες αὐτοῖς, ἀναιροῦσι τῶν Κελτῶν πολὺ πλῆθος ἐν προνομῇ, καὶ τὸν ἡγούμενον ἐκείνου τοῦ μέρους αὐτὸς ὁ Ῥωμαίων πρεσβευτὴς Κόϊντος Φάβιος ἀνεῖλε τε καὶ ἐσκύλευε, καὶ τὰ ὅπλα φορῶν ἐπανῆλθεν εἰς Κλούσιον.

III. *ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.*

Ὅτι ὁ τῶν Κελτῶν βασιλεὺς Βρέννος, τῶν Φαβίων τῶν Ῥωμαίων πολλοὺς ἀνελόντων Κελτῶν, μὴ δεξάμενος τοὺς Ῥωμαίων πρέσβεις, ἐπὶ τούτοις πρέσβεις ἐπιλεξάμενος ἐς κατάπληξιν, οἳ, Κελτῶν ἁπάντων μεγάλων τὰ σώματα ὄντων, ὑπερέβαλλον, ἐξέπεμπεν ἐς Ῥώμην· αἰτιώμενος τοὺς Φαβίους, ὅτι, πρεσβεύοντες, παρὰ τοὺς κοινοὺς νόμους ἐπολέμησαν. ᾔτει τε, τοὺς ἄνδρας ἐς δίκην ἐκδότους οἱ γενέσθαι, εἰ μὴ θέλουσι Ῥωμαῖοι κοινὸν αὐτῶν εἶναι τὸ ἔργον.

Οἱ δὲ Ῥωμαῖοι συνεγίγνωσκον μὲν, τοὺς Φαβίους ἁμαρτεῖν· αἰδοῖ δὲ οἴκου διαφέροντος, χρήματα τοὺς Κελτοὺς πράξασθαι παρὰ σφῶν παρεκάλουν. οὐ πειθομένων δὲ, χειροτονοῦσι τοὺς Φαβίους ἐπὶ τὴν ἐτήσιον ἀρχὴν χιλιάρχους, καὶ τοῖς πρεσβεύουσι τῶν Κελτῶν ἔφασαν· οὐ δύνασθαι νῦν οὐδὲν ἐς τοὺς Φαβίους, ἄρχοντας ἤδη. τοῦ δ᾽ ἐπιόντος ἔτους ἥκειν αὐτοὺς, ἂν ἔτι μηνιῶσιν, ἐκέλευον. Βρέννος δὲ καὶ ὅσοι Κελτῶν ἦσαν ὑπ᾽ ἐκείνῳ, νομίσαντες ὑβρίσθαι, καὶ χαλεπῶς ἐνεγκόντες, ἐς τοὺς ἄλλους Κελτοὺς περιέπεμπον, ἀξιοῦντες αὐτοὺς συνεφάψασθαι τοῦδε τοῦ πολέμου. καὶ πολλῶν ἀφικομένων, ἄραντες ἤλαυνον ἐπὶ τὴν Ῥώμην.

### IV. ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ.

Ὁ δὲ ὑφίσταται, γράμματα διοίσειν διὰ τῶν ἐχθρῶν ἐς τὸ Καπιτώλιον.

### V. ΕΚΛΟΓΗ ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ.

Ὅτι Καιδίκιος, γράμμα φέρων ἀπὸ τῆς βουλῆς περὶ τῆς ὑπάτου ἀρχῆς, παρεκάλει τὸν Κάμιλλον, μηδὲν ἐν τῷ παρόντι μηνίσαι τῇ πατρίδι τῆς ζημίας. Ὁ δὲ ἐπισχὼν αὐτὸν ἔτι λέγοντα, εἶπεν· οὐκ ἂν εὐξάμην ἐπιποθῆσαί με Ῥωμαίους, εἰ τοιαύτην ἤλπισα τὴν ἐπιπόθησιν αὐτοῖς ἔσεσθαι. νῦν δὲ δικαιοτέραν εὐχὴν εὔχομαι, γενέσθαι τῇ πατρίδι χρήσιμος ἐς τοσοῦτον ἀγαθοῦ, ἐς ὅσον κακοῦ περιελήλυθεν.

### VI. ΕΚΛ. ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ.

Ὅτι Κελτοὶ, μηδεμιᾷ μηχανῇ δυνηθέντες ἐπιβῆναι τῆς ἀκροπόλεως, ἠρέμουν, ὡς λιμῷ τοὺς ἔνδον παραστησόμενοι. Καί τις ἀπὸ τοῦ Καπιτωλίου κα-

τέβαινεν ἱερεὺς, ὄνομα Δόρσων, ἐπὶ ἐτήσιον δή τινα ἱερουργίαν, ἐς τὸν τῆς Ἑστίας νεὼν, στέλλων τὰ ἱερὰ διὰ τῶν πολεμίων, αἰδεσθέντων ἢ καταπλαγέντων αὐτοῦ τὴν τόλμαν ἢ τὴν εὐσέβειαν, ἢ τὴν ὄψιν ἱερὰν οὖσαν. ὁ μὲν δὴ, κινδυνεύειν ὑπὲρ τῶν ἱερῶν ἑλόμενος, ὑπ' αὐτῶν ἐσώζετο τῶν ἱερῶν. Καὶ τόδε, φησὶν, ὧδε γενέσθαι, Κάσσιος ὁ Ῥωμαῖος.

VII. ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ, ΚΑΙ ΕΚΛΟΓΗ ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ.

Τοῦ δὲ οἴνου καὶ τῶν ἄλλων ἄδην ἐνεπίμπλαντο οἱ Κελτοὶ, τήν τε φύσιν ὄντες ἀκρατεῖς, καὶ χώραν ἔχοντες, ὅτι μὴ πρὸς δημητρίους καρποὺς, τῶν ἄλλων ἄγονον καὶ ἀφυᾶ. τά τε σώματα αὐτοῖς, μεγάλα ὄντα καὶ τρυφερὰ, καὶ σαρκῶν ὑγρῶν μεστὰ, ὑπὸ τῆς ἀδηφαγίας καὶ μέθης ἐς ὄγκον καὶ βάρος ἐξεχεῖτο, καὶ πρὸς δρόμους καὶ πόνους ἀδύνατα πάμπαν ἐγίγνετο· ὑπό τε ἱδρῶτος καὶ ἄσθματος, ὅπου τι δέοι κάμνειν, ἐξελύοντο ταχέως.

VIII. ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ.

Οὓς (Κελτοὺς) γυμνοὺς ἐπεδείκνυε Ῥωμαίοις, (καὶ) Οὗτοί εἰσιν (ἔφη) οἱ τὴν βοὴν βαρεῖαν ἱέντες ὑμῖν ἐν ταῖς μάχαις, καὶ ὅπλα παταγοῦντες, καὶ ξίφη μακρὰ, καὶ κόμας αἰωροῦντες. ὧν τὸ ἄτολμον ὁρῶντες, καὶ τὸ σῶμα μαλακὸν, προσίεσθε τῷ ἔργῳ.

IX. ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ.

. . Τὸν δὲ δῆμον ἀπὸ τοῦ τείχους ὁρᾶν, καὶ τοῖς πονουμένοις ἑτέρους νεαλεῖς ἐπιπέμπειν ἀεί. οἱ δὲ Κελτοὶ, κεκμηκότες ἀκμῆσι συμπλεκόμενοι, ἔφευγον ἀτάκτως.

## X. ΕΚ ΤΟΥ ΑΥΤΟΥ.

Ο δὲ Κελτὸς ἀγανακτῶν, καὶ λιφαιμῶν, ἐδίωκε τὸν Βαλλέριον, συγκαταπεσεῖν ἐπειγόμενος. ὑπὸ δὲ πόδας ἀναχωροῦντος ἀεὶ τοῦ Βαλλερίου, κατέπεσε πρηνὴς ὁ Κελτός. Καὶ δεύτερον τοῦτο μονομάχιον ἐπὶ Κελτοῖς ἐμεγαλαύχουν Ρωμαῖοι.

## XI. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

Οτι τὸ τῶν Σενόνων ἔθνος ἔνσπονδον ἦν Ρωμαίοις, καὶ ἐμισθοφόρουν κατὰ Ρωμαίων. ἡ δὲ βουλὴ πρέσβεις ἔπεμψεν ἐγκαλέσοντας, ὅτι ὄντες ἔνσπονδοι μισθοφοροῦσι κατὰ Ρωμαίων. τούτους Βριτόμαρις ὁ Κελτὸς, ἀγανακτῶν ὑπὲρ τοῦ πατρὸς, ὅτι συμμαχῶν Τυῤῥηνοῖς ὑπὸ Ρωμαίων ἐν τῷδε τῷ πολέμῳ διέφθαρτο, τά τε κηρύκια φέροντας, καὶ τὴν ἄσυλον ἐσθῆτα περικειμένους, κατέτεμνεν ἐς πολλὰ, καὶ τὰ μέρη τῶν σωμάτων διέῤῥιψεν ἐς τὰ πεδία. Καὶ τοῦ μύσους ὁ Κορνήλιος ἐν ὁδῷ πυθόμενος, ἐς τὰς Σενόνων πόλεις συντόνῳ σπουδῇ διὰ Σαβίνων καὶ Πικεντίνων ἐσβαλὼν, ἅπαντα καθῄρει καὶ ἐνεπίμπρη· τῶν τε ἀνθρώπων, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἠνδραποδίζετο· τοὺς δὲ ἐν ἥβῃ πάντας ἔκτεινεν ὁμαλῶς, καὶ τὴν χώραν ἐλυμαίνετο ποικίλως, καὶ ἄοικον εἰς τὸ λοιπὸν ἐποίει. Βριτόμαριν δὲ μόνον ἦγεν αἰχμάλωτον ἐπὶ λύμῃ. Υστερον δὲ Σένονες, οὐκ ἔχοντες ἔτι πατρίδας, ἐς ἃς διαφύγωσι, συνέπεσον ἐς χεῖρας ὑπὸ τόλμης τῷ Δομετίῳ· καὶ ἡττώμενοι, σφᾶς αὐτοὺς ὑπὸ ὀργῆς διεχρῶντο μανικῶς. Καὶ δίκη μὲν ἥδε παρανομίας ἐς πρέσβεις ἐγένετο Σένοσιν.

## XII. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

Ὅτι οἱ Σαλύων δυνάσται, τοῦ ἔθνους ἡττηθέντος ὑπὸ Ῥωμαίων, ἐς Ἀλλόβριγας κατέφυγον. καὶ αὐτοὺς ἐξαιτοῦντες οἱ Ῥωμαῖοι, στρατεύουσιν ἐπὶ τοὺς Ἀλλόβριγας οὐκ ἐκδιδόντας, ἡγουμένου σφῶν Γναίου Δομετίου. ᾧ παροδεύοντι τὴν τῶν Σαλύων ἐντυγχάνει πρεσβευτὴς Βιτοίτου, βασιλέως τῶν Ἀλλοβρίγων, ἐσκευασμένος τε πολυτελῶς, καὶ δορυφόροι παρείποντο αὐτῷ κεκοσμημένοι, καὶ κύνες. δορυφοροῦνται γὰρ δὴ καὶ πρὸς κυνῶν οἱ τῇδε βάρβαροι. Μουσικός τε ἀνὴρ εἵπετο, βαρβάρῳ μουσικῇ τὸν βασιλέα Βιτοῖτον, εἶτ' Ἀλλόβριγας, εἶτα τὸν πρεσβευτὴν αὐτὸν, ἔς τε γένος καὶ ἀνδρείαν καὶ περιουσίαν ὑμνῶν· οὗ δὴ καὶ μάλιστα ἕνεκα αὐτοὺς οἱ τῶν πρεσβευτῶν ἐπιφανεῖς ἐπάγονται. Ἀλλ' ὁ μὲν, συγγνώμην αἰτῶν τοῖς Σαλύων δυνάσταις, ἀπέτυχεν.

## XIII. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

Ὅτι τῶν Τευτόνων μοῖρα λῃστεύουσα πολύανδρος ἐς τὴν γῆν τῶν Νωρικῶν ἐσέβαλλεν. καὶ ὁ Ῥωμαίων ὕπατος Παπίριος Κάρβων δείσας, μὴ ἐς τὴν Ἰταλίαν ἐσβάλοιεν, ἐφήδρευε τοῖς Ἀλπίοις, ᾗ μάλιστά ἐστιν ἡ διάβασις στενοτάτη. Οὐκ ἐπιχειρούντων δ' ἐκείνων, αὐτὸς ἐπέβαινεν αὐτοῖς, αἰτιώμενος ἐς Νωρικοὺς ἐσβαλεῖν, Ῥωμαίων ξένους ὄντας. Ἐποιοῦντο δ' οἱ Ῥωμαῖοι ξένους, οἷς ἐδίδοσαν μὲν εἶναι φίλους, ἀνάγκη δ' οὐκ ἐπῆν ὡς φίλοις ἐπαμύνειν. Οἱ μὲν δὴ Τεύτονες πλησιάζοντι τῷ Κάρβωνι προσέπεμπον, ἀγνοῆσαί τε τὴν ἐς Ῥωμαίους Νωρικῶν ξενίαν, καὶ αὐτῶν ἐς τὸ μέλλον ἀφέξεσθαι. ὁ δ' ἐπαι-

νέσας τοὺς πρέσβεις, καὶ δοὺς αὐτοῖς ὁδῶν ἡγεμόνας, κρύφα τοῖς ἡγουμένοις ἐνετείλατο, μακροτέραν αὐτοὺς περιάγειν. τῇ βραχυτέρᾳ δὲ αὐτὸς διαδραμὼν, ἀδοκήτως ἀναπαυομένοις ἔτι τοῖς Τεύτοσιν ἐμπεσὼν, ἔδωκε δίκην ἀπιστίας, πολλοὺς ἀποβαλών. τάχα δ' ἂν καὶ πάντας ἀπώλεσεν, εἰ μὴ ζόφος καὶ ὄμβρος καὶ βρονταὶ βαρεῖαι, τῆς μάχης ἔτι συνεστώσης ἐπιπεσοῦσαι, διέστησαν αὐτοὺς ἀπ' ἀλλήλων, καὶ ὁ ἀγὼν ὑπὸ τῆς ἄνωθεν ἐκπλήξεως διελύθη. σποράδες δὲ καὶ ὧς ἐς ὕλας οἱ Ρωμαῖοι διαφεύγοντες, τρίτῃ μόλις ἡμέρᾳ συνῆλθον. Καὶ Τεύτονες ἐς Γαλάτας ἐχώρουν.

## XIV. *ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ.*

Ο δὲ τοῖς σώμασι τῶν Κίμβρων ἀψαυστεῖν ἐκέλευεν, ἕως ἡμέρα γένηται, πολύχρυσα εἶναι δοκῶν.

## XV. *ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.*

Ὅτι ἔθνη δύο Τιγύριοι καὶ Ελουήτιοι ἐς τὴν Ρωμαίων Κελτικὴν ἐσέβαλον. καὶ τούτων τὸν στόλον ὁ Καῖσαρ Γάϊος πυθόμενος, διετείχισεν ὅσα περὶ Ροδανόν ἐστι ποταμὸν ἐς ἑκατὸν καὶ πεντήκοντα σταδίους μάλιστα. καὶ πρέσβευσαμένοις ἐπὶ διαπείρᾳ τοῖς πολεμίοις ὑπὲρ σπονδῶν, ἐκέλευεν ὅμηρα δοῦναι καὶ χρήματα. ἀποκριναμένων δ', εἰθίσθαι ταῦτα λαμβάνειν, οὐ διδόναι· βουλόμενος φθάσαι τὴν ὁμαιχμίαν αὐτῶν, ἐπὶ μὲν τοὺς Τιγυρίους, ἐλάσσους ὄντας, ἔπεμπε Λαβιῆνον· αὐτὸς δὲ ἐπὶ τοὺς Ελουητίους ἐχώρει, προσλαβὼν Γαλατῶν τῶν ὀρείων ἐς δισμυρίους. Καὶ γίγνεται Λαβιήνῳ τὸ ἔργον εὐμαρὲς, ἀδοκήτοις Τιγυρίοις περὶ τὸν ποταμὸν ἐπι-

πεσόντι, καὶ τρεψαμένῳ καὶ σκεδάσαντι τοὺς πολλοὺς ἐν ἀσυνταξίᾳ.

XVI. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

Οτι Ἀριοουΐστος, Γερμανῶν βασιλεὺς τῶν ὑπὲρ Ῥῆνον, ἐπιβαίνων τῆς πέραν, Αἰδούοις ἔτι πρὸ τοῦ Καίσαρος ἐπολέμει, φίλοις οὖσι Ῥωμαίων. Τότε μὲν δὴ, τοῖς Ῥωμαίοις κελεύουσι πεισθεὶς, ἀνέζευξεν ἀπὸ τῶν Αἰδούων, καὶ φίλος ἠξίωσε Ῥωμαίοις γενέσθαι· καὶ ἐγένετο, ὑπατεύοντος αὐτοῦ Καίσαρος καὶ ψηφισαμένου.

XVII. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

Οτι Ἀριοουΐστος, ὁ Γερμανῶν βασιλεὺς, φίλος γενόμενος Ῥωμαίων, ἐς λόγους ἦλθε τῷ Καίσαρι. καὶ διαχωρισθέντων ἀπ᾽ ἀλλήλων, αὖθις συνελθεῖν ἐς λόγους ἠξίωσεν. Τοῦ δὲ Καίσαρος οὐ συνελθόντος, ἀλλὰ τοὺς πρωτεύοντας Γαλατῶν ἀποστείλαντος, ἔδησε τοὺς πρέσβεις. καὶ ὁ Καῖσαρ ἐστράτευεν ἐπ᾽ αὐτὸν μετ᾽ ἀπειλῆς. Δέος δ᾽ ἐμπίπτει τῷ στρατῷ κατὰ κλέος τῶν Γερμανῶν.

XVIII. ΕΚΛΟΓΗ ΠΕΡΙ ΠΡΕΣΒΕΙΩΝ.

Οτι Οὐσιπέται, ἔθνος Γερμανικὸν, καὶ Ταγχρέαι, δοκοῦσι πρότεροι σφετέροις ἱππεῦσιν ὀκτακοσίοις τρέψασθαι τῶν Καίσαρος ἱππέων ἐς πεντακισχιλίους· ὁ δὲ Καῖσαρ αὐτοῖς πρεσβευομένοις ἐς αὐτὸν ἐπιθέσθαι, τοὺς πρέσβεις κατασχών· καὶ τὸ πάθος ἐκείνοις ἐς τέλος αἰφνίδιον οὕτω συνενεχθῆναι, ὡς τεσσαράκοντα μυριάδας τούτων συγκοπῆναι. Κάτωνά τε ἐν Ῥώμῃ, τῶν τις συγγραφέων φησὶ, γνώμην ἐσενεγκεῖν, ἐκδοῦναι τοῖς βαρβάροις τὸν Καίσαρα,

ὡς ἐναγὲς ἔργον ἐς διαπρεσβευσαμένους ἐργασάμενον. Ὁ δὲ Καῖσαρ ἐν ταῖς ἰδίαις ἀναγραφαῖς τῶν ἐφημέρων ἔργων φησὶ, τοὺς Οὐσιπέτας καὶ Ταγχρέας κελευομένους ἐκπηδᾷν ἐς τὰ ἀρχαῖα σφῶν, φάναι· πρέσβεις ἐς τοὺς ἐκβαλόντας Σουήβους ἀπεσταλκέναι, καὶ τὰς ἀποκρίσεις αὐτῶν ἀναμένειν· καὶ ἐν ταῖσδε ταῖς διαπρεσβεύσεσιν ἐπιθέσθαι τοῖς ὀκτακοσίοις, καὶ παρ' αὐτὸ τρέψαι τοὺς Ῥωμαίων πεντακισχιλίους. ἐπιπρεσβευομένων δ' αὐτῶν καὶ περὶ τοῦ παρασπονδήματος ἀπολογουμένων, ὑποτοπήσας ἐνέδραν ὁμοίαν, ἐπιθέσθαι πρὸ τῶν ἀποκρίσεων.

## XIX. ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ.

Εὐθὺς ἠρέθιζον τοὺς Βρεττανοὺς παρορκῆσαι, ἔγκλημα ἔχοντας, ὅτι, σπονδῶν σφίσι γενομένων, ἔτι παρῆν τὸ στρατόπεδον.

## XX. ΕΚ ΤΟΥ ΑΥΤΟΥ.

Δείσας ὁ Καῖσαρ περὶ τῷ Κικέρωνι, ὑπέστρεφεν εἰς τοὐπίσω.